## Βίος Διονυσίου.

Ὁ Διονύσιος, γέγονεν υἱὸς Δίωνος Ἀλεξανδρεύς. γέγονε δὲ
καὶ ἐπὶ τῶν Ῥωμαϊκῶν χρόνων μετ' Αὔγουστον Καίσαρα,
ἢ ἐπ' αὐτοῦ. φέρονται δὲ αὐτοῦ καὶ ἄλλα συγγράμματα.
τά τε λιθιακά· ὀρνιθιακά· καὶ βασσαρικά. τινὲς δὲ λέ-
γουσιν εἶναι αὐτοῦ τὴν νῆσον, καὶ τὰ λιθιακά. διαφέρει δὲ
γεωγραφία χωρογραφίας. ὅτι ἡ μὲν γεωγραφία, τὴν
καθόλου λέγει· οὐχὶ δὲ μερικῶς. οἷον περὶ τῆς Αἰγύπτου.
οὐκέτι δὲ μέντοι περὶ τῆς κατὰ μέρος τόπων. οἷον περὶ σῆς
πόλεως. καὶ περὶ τοῦ ποταμοῦ. ὥσπερ ἡ χωρογραφία,
ἀπ' ἄλλων μέμνηται τῶν πόλεων καὶ τῶν ποταμῶν:·

Geographia } diff.
Chorographia

## Διονυσίου οἰκουμένης περιήγησις.

Ἀρχόμενος γαῖάν τε καὶ εὐρέα πόντον ἀείδειν.
καὶ ποταμοὺς πόλιάς τε, καὶ ἀνδρῶν ἄκριτα φῦλα,
μνήσομαι ὠκεανοῖο βαθυρρόου· ἐν γὰρ ἐκείνῳ
πᾶσα χθών, ἅτε νῆσος ἀπείριτος ἐστεφάνωται·
οὐ μὴν πᾶσα διαπρὸ περίδρομος, ἀλλὰ διαμπὰξ
ὀξυτέρη βεβαυῖα, πρὸς ἠελίοιο κελεύθους
σφενδόνῃ εἰοικυῖα, μίαν δέ ἑ καί περ ἐοῦσαν,
ἄνθρωποι τρισσῇσιν ἐπ' ἠπείροισι δάσαντο·
πρῶτα μὲν οὖν λιβύην· μετὰ δ' εὐρώπην ἀσίην τε·
ἀλλ' ἤτοι λιβύη μὲν, ἀπ' εὐρώπης ἔχει οὖρον

Partes .iij. orbis.

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_139/0445